| | |
|---|---|
| τᾶι δ᾽ ἐπεισέπιπτον, ἀφρῶι | 2 tro. |
| δ᾽ ⟨ὗ᾽⟩ ἀβακχίωτος ὄμ- | lec. |
| βρος, εἰς δὲ τρόφιμον ἄγγος | ia. ba. |
| ἐχεῖτ᾽· ἐπεὶ δ᾽ ἀμβόλιμος ἄλ- | 2 ia. |
| μα στόματος ὑπερέθυιεν, | ia. ba. |
| ὀξυπαραυδήτωι | cho. sp. |
| φωνᾶι παρακόπωι τε δόξαι φρενῶν | ia. 2 cr. |
| κατακορὴς ἀπείλει | cr. ba. |
| γόμφοισ⟨ιν⟩ ἐμπρίων | ia. sp. |
| †μιμούμενος† λυμεῶ- | ia. cr. |
| νι σώματος θαλάσσαι· | ia. ba. |
| ἤδη θρασεῖα καὶ πάρος | 2 ia. |
| λάβρον αὐχέν᾽ ἔσχες ἐμ | lec. |
| πέδαι καταζευχθεῖσα λινοδέτωι τεόν· | 3 ia. |
| νῦν δέ σ᾽ ἀναταράξει | cr. ba. |
| ἐμὸς ἄναξ ἐμὸς πεύ- | ,, |
| καισιν ὀριγόνοισιν, ἐγ- | lec. |
| κλήισει δὲ πεδία πλόϊμα νομάσι ναύταις· | 2 ia. ba. |
| οἰστρομανὲς παλεομί- | cho. cr. |
| σημ᾽ ἄπιστόν τ᾽ ἀγκάλι- | tro. cr. |
| σμα κλυσιδρομάδος αὔρας. | cr. ba. |
| φάτ᾽ ἄσθματι στρευγόμενος, | ia. cho. |



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415767245/226 UNIVERSITÄT LEIPZIG